## Σημειώσεις τινὲς περὶ Ἔτους, Μηνῶν, Ἡμερῶν καὶ Ἰνδικτιῶνος ὑπὸ Σεβαστοῦ Ἱερέως, καὶ Οἰκονόμου Καστορίας ἐρανισθεῖσαι, αὐτοσχεδίως δὲ προστεθεῖσαι.

Ἐπεὶ γοῦν ἐπιστέλλοντες, τὸ ἔτος, τὸν Μῆνα, καὶ τὴν ἡμέραν ὑποσημειοῦν φιλοῦμεν, ἀκροθιγῶς καὶ περὶ τούτων εἴπωμεν. Νουμᾶς τοιγαροῦν ὁ Πομπίλιος, ὁ Σαβῖνος μετὰ Ῥωμύλον βασιλεύσας ἔτη μζ΄. τὸ Δωδεκάμηνον ἔτος πρῶτος ἐφεύρατο, Δεκαμηνιαίου τοῦ ἐνιαυτοῦ πρὸ τούτου χρηματίζοντος, προστιθεὶς τόν, τε Ἰαννουάριον, καὶ σεξτίλιον, τουτέστι τὸν Αὔγουστον. ὡς δ' ἐν τῇ Βίβλῳ τῶν ἀποκρύφων Ἐνὼχ περιέχεται, Οὐριὴλ ὁ μετανοίας Ἀρχάγγελος μεθερμηνευόμενος ἐμήνυσε τῷ Ἐνὼχ τί ἐστι μὴν, καὶ τροπὴ, ἐνιαυτὸς, καὶ τὸν ἐνιαυτὸν νβ΄. ἔχειν ἑβδομάδας. ἀπὸ Ἀδὰμ τοίνυν ἕως τοῦ κατακλυσμοῦ χρονολογοῦνται ἔτη βσμβ΄. καὶ ἀπὸ τοῦ κατακλυσμοῦ ἕως τοῦ Φαλὲκ, καὶ τῆς πυργοποιΐας φλη΄. καὶ ἀπὸ τοῦ Φαλὲκ, καὶ τῆς πυργοποιΐας μέχρις οὗ ὁ Ἀβραὰμ ἦλθεν εἰς γῆν Χαναὰν χιε΄. καὶ ἀπὸ τοῦ Ἀβραὰμ ἕως τῆς τελευτῆς Ἰησοῦ φκς΄, καὶ ἀπὸ τῆς τελευτῆς Ἰησοῦ ἕως τοῦ παραλαβεῖν τὸν Δαβὶδ τὴν τῶν Ἰουδαίων βασιλείαν υπ΄. καὶ ἀπὸ Δαβὶδ, ἕως Σεδεκίου τοῦ Ἰεχονίου, καὶ τῆς Μετοικησίας Βαβυλῶνος υμβ΄. καὶ ἀπὸ τῆς μετοικησίας ἕως Ζοροβάβελ, ἐπὶ πρώτου ἔτους Κύρου Βασιλέως Περσῶν ο΄. καὶ ἀπὸ τοῦ α΄. ἔτους Κύρου ἕως τοῦ Καίσαρος Αὐγούστου, ἐν ᾧ χρόνῳ ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν ἐγεννήθη φϟβ΄.

φϟβ΄. ἀπὸ τῆς κτίσεως κόσμου μέχρι τῆς τοῦ Χριστοῦ γεννήσεως ἐπαριθμοῦνται ἔτη ͵εφϛ΄. καὶ τόσοι ὁ ἀριθμὸς τοῦ παλαιοῦ ἔτους συμποσοῦται. ἀπὸ δὲ τῆς τοῦ Χριστοῦ γεννήσεως ἄρχεται τὸ χρυσοῦν καὶ σωτήριον ἔτος ἀριθμούμενον ἕως τοῦ νῦν ͵αψξϛ΄.

## ΠΕΡΙ ΜΗΝΩΝ ΡΩΜΑΙΩΝ.

Μῆνας δυοκαίδεκα τοῦ ἔτους κεκτημένου, ὁ μὲν πρῶτος Ἰαννουάριος, ἀπὸ Ἰανοῦ διπροσώπου παρωνόμασται. οὗ ἄγαλμα τετράμορφον χαράττουσι διὰ τὰς τέτταρας τροπάς. οἱ δὲ ἐν τῇ δεξιᾷ χειρὶ κλεῖδα κατέχον, ὡς ἀρχὴν τοῦ χρόνου, καὶ ἄνοιξιν τοῦ ἐνιαυτοῦ καὶ θυραῖον. ἕτεροι δὲ τῇ μὲν δεξιᾷ τ, τῇ δ᾽ ἀριστερᾷ ξε κατέχον, ὥσπερ τὸν ἐνιαυτόν. ὅθεν ὁ Λογγῖνος αἰωνοπάτορα αὐτὸν ἑρμηνεῦσαι βιάζεται, ὡσανεὶ αἰῶνος πατέρα.

Ὁ δὲ Φευρουάριος, ἐκ τοῦ Φεμπρουάρε, ὅπερ δηλοῖ τὴν κάθαρσιν παρὰ Σαβίνοις. ἐν αὐτῷ γὰρ τῷ μηνὶ τὴν πόλιν καὶ τοὺς ἀγροὺς οἱ πάλαι Ῥωμαῖοι καθαίροντες ἦσαν, λιτανεύοντες δι᾽ ἡμερῶν δυοκαίδεκα, ἣν θυσίαν Φευμπρουὰμ ἀπεκάλουν.

Ὁ δὲ Μάρτιος, ἐκ τοῦ μάρτις, τουτέστι τοῦ Ἄρεως κατὰ Λατίνους. τότε γὰρ πρὸς μάχας οἱ πολέμιοι ἐγείρονται.

Ὁ δ᾽ Ἀπρίλλιος, ἀπὸ τοῦ ἀπερίρε Λατινικῆς λέξεως, ὃ σημαίνει τὸ ἀνοίγω. κατ᾽ αὐτὸν γὰρ τὸν μῆνα ἡ γῆ τὰ ἄνθη ἐκφύει.

Ὁ Μάϊος δέ, ἀπὸ τῆς λέξεως μάϊους, τουτέστιν ἐκ τῶν προβεβηκότων καὶ μειζόνων.

Ὁ



ΙΩΑΝΝΙΝΑ 2006

Ὁ δ' Ἰούνιος, ἀπὸ τῆς λέξεως. γιοῦνο, τουτέστι τῆς Ἥρα κατ' αὐτὸν γὰρ τὸν μῆνα τελεταῖς ἐτίμων οἱ πάλαι. Ῥωμαῖοι τὴν Ἥραν.

Ὁ δ' Ἰούλιος, ὁ καὶ Καντήλιος πάλαι λεγόμενος, μετωνόμασται παρὰ Ἀντωνίου διὰ τὸ γεννηθῆναι τότε αὐτῷ τὸν Γαΐον Ἰούλιον.

Ὁ δ' Αὔγουστος, ὁ καὶ Σεξτήλιος πάλαι λεγόμενος, ἀπ' Αὐγούστου τοῦ αὐτοκράτορος κέκληται.

Ὁ Σεπτέμβριος δέ, ἀπὸ τῆς λέξεως σέπτεμ, ὅ ἐστιν ἑπτά. ἀπὸ γὰρ τοῦ Μαρτίου πρώτου μηνὸς κατά τε Ῥωμαίους καὶ Ἑβραίους ἕβδομός ἐστιν ὁ Σεπτέμβριος.

Ὀκτώβριος, ὅτι ὄγδοος. ὄκτεμ γὰρ τὰ ὀκτὼ λατινιστί.

Νοέμβριος, ὅτι ἔννατος. νόμβεμ γὰρ τὰ ἐννέα οἱ λατῖνοι λέγουσι.

Δεκέμβριος, ὅτι δέκατος. ντέτζεμ γὰρ τὰ δέκα παρὰ λατίνοις. ἀφιέρουν δὴ τὸν μὲν Ἰαννουάριον τῷ Ἰαννῷ καὶ τῇ Ἥρα. τὸν δὲ Φευρουάριον τῷ Ποσειδῶνι. τὸν δὲ Μάρτιον τῇ Ἀθηνᾷ. τὸν δ' Ἀπρίλλιον τῇ Ἀφροδίτῃ. τὸν Μάϊον δὲ τῷ Ἀπόλλωνι. τὸν δ' Ἰούνιον τῷ Ἑρμῇ. τὸν δ' Ἰούλιον τῷ Διΐ. τὸν δ' Αὔγουστον τῇ Δήμητρι. τὸν δὲ Σεπτέμβριον τῷ Ἡφαίστῳ. τὸν δ' ὀκτώβριον τῷ Ἄρει. τὸν δὲ Νοέμβριον τῇ Ἀρτέμιδι. τὸν δὲ Δεκέμβριον τῇ λεγομένῃ Βέστῃ. καὶ οὕτω μὲν οἱ τῶν Ῥωμαίων Μῆνες.

## ΠΕΡΙ ΜΗΝΩΝ ἈΘΗΝΑΙΩΝ.

Ἀθηναῖοι τὸν Ἰαννουάριον, Γαμηλιῶνα ὀνομάζουσιν, ἀπὸ τῆς γαμηλίας Ἥρας τῆς τῶν γάμων προστάτιδος. Κέκροψ γὰρ τὴν Ἥραν ἐπιστα-

τῶν

ΙΩΑΝΝΙΝΑ 2006

κεῖν τῷ γάμῳ ἐνομοθέτησε. καὶ τὸν μῆνα τοῦτον τῇ θεᾷ ἀφωσιώσατο κατὰ τὸν Εὐστάθιον.

Ὁ δὲ Φευρουάριος, Ἐλαφηβολιὼν κατονομάζεται, ἀπὸ τῆς τῶν ἐλάφων βολῆς, καθ᾽ ὃν, ἑορτὴ ἐπιτελεῖται τῆς κυνηγέτιδος Ἀρτέμιδος. ἐλαφηβόλια γὰρ ἡ πανήγυρις ἐκαλεῖτο, πασῶν μεγίστη ἐπιτελουμένη παρὰ Φωκεῦσι διὰ τὴν κατὰ τῶν Θετταλῶν νίκην.

Ὁ Μάρτιος δὲ, Μουνυχιὼν, ἀπὸ μουνυχίας τῆς Ἀρτέμιδος, κατὰ τὸν Παυσανίαν ἐν τοῖς Ἀττικοῖς. οὗτος καὶ μὴν δέκατος παρ᾽ Ἀθηναίοις.

Ὁ δ᾽ Ἀπρίλλιος, Θαργηλιὼν, ἀπὸ τοῦ θέρους καὶ γῆς ἐτυμολογούμενος, ξυνῳδὰ τῷ Ἀπριλλίῳ, τῷ ἐκ τῆς Λατινίδος, ὡς φθάσαντες εἴπομεν. τότε γὰρ ἡ γῆ ἀφ᾽ ἡλίου θερμαινομένη ἀνθηφορεῖ, καὶ τῶν ἀνθέων τὰς ἀπαρχὰς ὡς ἔψημα ἱερὸν ἐν χύτρᾳ θαργήλου καλουμένῃ Ἀπόλλωνι προσήνεγκον, καὶ Ἀρτέμιδι. ὁ γὰρ Ἀπόλλων, κατὰ τὸν Πλούταρχον ἐν τοῖς συμποσιακοῖς κατὰ τοῦτον τὸν μῆνα ἐγεννήθη, ἐξ ὧν καὶ θαργήλια ἡ ἑορτὴ ἐκαλεῖτο.

Ὁ δὲ Μάϊος, Σκιρροφοριὼν, ἀπὸ σκίρρου τόπου τῆς Ἀττικῆς ἔνθα Ὀδυσσεὺς Ἀθηνᾷ σκιρράδι ἐνιδρύσατο τέμενος κατ᾽ Εὐστάθιον. διὸ καὶ σκίρα ἡ τῆς Ἀθηνᾶς ἑορτή. κατὰ δὲ τὸν Ἁρποκρατίωνα ἀπὸ τῆς σκιάδος, σκιὰς γὰρ τὸ σκιάδιον δηλοῖ, ὅπερ ἐφόρουν αἱ κανηφόροι γυναῖκες παρ᾽ Ἀθηναίοις ἀπιοῦσαι εἰς τὰ Ἐλευσίνια, τοῦ μὴ καίεσθαι τὰς ὄψεις ὑπὸ τοῦ ἡλίου. ἢ κρεῖττον εἰπεῖν, ἐφόρουν τοῦτο οἱ ἐτεοβουτάδαι γένος παρ᾽ Ἀθηναίοις οἶον, ἀληθῶς ἀπὸ Βούτου,

Βούτου, ἐτεὸν γὰρ τὸ ἀληθὲς) ἐκ τῆς ἀκροπόλεως εἰς τὸν λεγόμενον σκίῤῥον τῆς ἑορτῆς κροτουμένης, κατ' ἄλλους δὲ παρὰ τὸ φέρειν σκίῤῥον, ἤτοι γύψον ἐν αὐτῷ τῷ μηνὶ τὸν Θησέα. ὁ γὰρ Θησεὺς ἀπερχόμενος κατὰ Μινοταύρου τὴν Ἀθηνᾶν ἀπὸ γύψου ποιήσας ἐβάσταζεν. ἐπὶ οὖν τουτῳὶ τῷ μηνὶ τοῦτ' ἐποιήσαντο, κέκληται Σκιῤῥοφοριών.

Ὁ δ' Ἰούνιος, Ἑκατομβαιὼν, ἀπὸ τῆς ἑκατόμβης· τότε γὰρ κατὰ τὸν Θεόδωρον αἱ ἑκατόμβαι ἐθύοντο. ἑκατόμβη δὲ κυρίως ἡ ἐξ ἑκατὸν βοῶν θυσία, ἁπλῶς δὲ καὶ ἡ πολυτελὴς καὶ ἐκ πολλῶν ζώων γινομένη· ἀλλ' ὑπερνικᾷ τὸ τοῦ βοὸς ὄνομα διὰ τὸ τίμιον. ἦν δὲ πρῶτος μὴν αὐτὸς παρ' Ἀθηναίοις, ὃν καὶ κρόνιον κατὰ Πλούταρχον ἐκάλουν.

Ὁ δ' Ἰούλιος, Μεταγειτνιὼν, ἀπὸ μεταγειτνιοῦ ἑορτῆς. Ἀπόλλωνος κατὰ Λυσιμαχίδην ἐν τῷ περὶ τῶν ἐν Ἀθήναισι μηνῶν, ὃς καὶ δεύτερος μὴν παρ' ἐκείνοις.

Ὁ δ' Αὔγουστος, Βοηδρομιὼν, ἀπὸ τῶν βοηδρομένων, καὶ ταύτης ἑορτῆς Ἀπόλλωνος, ἥν φησι Φιλόχωρος ὡς ἐτιμᾶτο Βοηδρόμιος Ἀπόλλων. ἢ ὅτι Ἴων ὁ Ξούθου, πολεμουμένοις ὑπ' Εὐμόλπου τοῦ Ποσειδῶνος τοῖς Ἀθηναίοις ἐπὶ Ἐρεχθέως ἄρχοντος ὤρεξε χεῖρα βοηθείας. ὅθεν Ἀθηναῖοι Βοηδρόμια καλοῦσι τὴν πανήγυριν, βοηδρομεῖν γὰρ τὸ βοηθεῖν παρ' ἐκείνοις δηλοῖ, ὡς ἂν εἴποι τις ἐπὶ μάχην βοηδρόμια δὲ, ἥ, τε θυσία, ὁ μὴν, καὶ τὰ Βοηδρόμια.

Ὁ Σεπτέμβριος δὲ, Μαιμακτηριὼν, ἐκ τοῦ μαιμᾷν τοῦ ταράττειν, ἐξ οὗ καὶ μαιμακτήρια



Ε. Α. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἡ Διὸς ἑορτὴ, τοῦ συγκυκῶντος τὴν γῆν καὶ ταράττοντος, διὸ καὶ μαιμάκτης ὁ Ζεὺς ἐπωνόμασται, ὅ ἐστιν ἐνθουσιώδης καὶ ταρακτικὸς κατὰ Λυσιμαχίδην περὶ Ἀθηναίων μηνῶν. τοῦτον δὲ τὸν μῆνα ἄλλως, ἴσως ἀριθμῶν φησὶ πέμπτον μῆνα ὁ Βαρῖνος.

Ὁ δ' Ὀκτώβριος, Πυανεψιὼν, ἐκ τοῦ πυάψιων τῶν τοὺς κυάμους καὶ ἄλλους ἐκδειλέντων χεδροπὰς καὶ τοῦ ἕψειν. ἐν γὰρ τούτῳ τῷ μηνὶ ἀσπρίους καρποὺς ἕψουσιν, ἐξ ὧν πυανέψια ἡ τοῦ Ἀπόλλωνος ἑορτὴ, ἧς ἱατρῶος εὑρετὴς ὁ Θησεὺς, ὁ τὸ ἔτνος ἑψήσας ἐν Δήλῳ, καὶ βωμὸν καθιδρύσας Ἀπόλλωνι. ὅτι πύαμοι οἱ κύαμοι ἐκαλοῦντο πρότερον ἄρα, εἰρησιώνη, ἐκ τῷ Βαρῖνος.

Ὁ δὲ Νοέμβριος, Ἀνθεστηριὼν, ἀπὸ τοῦ ταῖς ῥεῖσθαι τῶν ἀνθέων τὴν γῆν κατὰ Θεόδωρον. καὶ Ἴστρος δὲ ἐν τοῖς τῆς συναγωγῆς φησὶν ὅτι πλεῖστα τῶν ἐκ τῆς γῆς ἀνθεῖ τότε, κρεῖττον δ' εἰ ἔλεγεν ἀποανθεῖν ξυνῳδὰ τῷ Θεοδώρῳ. τότε γὰρ φθινοποροῦσι καὶ φυλλοῤῥοοῦσι τὰ δένδρη καὶ ἀπάρχεται ὁ χειμὼν, ἐξ ὧν ἀνθεστήρια ἡ τοῦ Διονύσου ἑορτὴ μετ' ἀφθόνου καὶ πλείστης εὐωχίας τελουμένη. ὅθεν καὶ παροιμία, θύραζε κᾶρες, οὐκ ἔτ' ἀνθεστήρια. τοῦτον Βαρῖνος πάλιν μῆνα ὄγδοον φησὶ παρ' Ἀθηναίοις.

Ὁ Δεκέμβριος δὲ, Ποσειδεὼν, ἐκ τοῦ Ποσειδῶνος ἀγῶνος. κατὰ γὰρ τοῦτον τὸν μῆνα ὅ, τε Ποσειδῶν, καὶ ἡ Ἀθηνᾶ περὶ τῆς Ἀττικῆς ἠγωνίζοντο, ὅθεν ἐπωνόμασται ἡ πόλις. καὶ δὶς Ἀθηναῖοι αὐτοὶ κατὰ τοῦτον τὸν μῆνα ἠγωνίζοντο, ὑδρομετροῦντες τὴν ἡμέραν κατὰ Σουίδαν. τοῦτον Βαρῖνος ἕκτον μῆνα καλεῖ παρ' Ἀθηναίοις.

ΠΕΡΙ

IOANNINA 2006

# ΠΕΡΙ ἩΜΕΡΩΝ.

Τὸ μὲν γοῦν ἔτος ἐπὶ δοτικῆς πτώσεως, ὁ δὲ μὴν ἐπὶ γενικῆς, καὶ ἡ τοῦ τυχόντος μηνὸς ἡμέρα ἐπὶ δοτικῆς, μετὰ τοῦ ἱσαμένου, μεσοῦντος, ἢ φθίνοντος. Ἡνίκα γοῦν πρώτη τοῦ μηνὸς ἡμέρα τύχῃ, οὕτω φαμὲν αψξη' Βοηδρομιῶνος νεομηνίᾳ, ἢ νουμηνίᾳ, ἢ πρώτῃ ἱσταμένου, ἢ ἀρχομένου. ἡνίκα δὲ τύχῃ δευτέρα, φαμὲν δευτέρᾳ ἱσταμένου, ἢ ἀρχομένου ἄχρι τῶν δέκα. τὴν δὲ δεκάτην, δεκάτην ἁπλῶς γράφομεν, ἥτις καὶ δεκάτη προτέρα λέγεται, καὶ δεκάτη πρὸ εἰκάδος, ὡς ὑστέρα, ἡ μετ' εἰκάδα. εἶτα ἑνδεκάτη, ἢ α- μεσοῦντος, ἢ α' ἐπὶ δέκα, ἢ ἐπὶ δεκάδι, (ἢ ἐπὶ δεκάτῃ ἕως εἰκοστῆς, ἥτις ἁπλῶς εἰκὰς λέγεται. τὴν κα'. δεκάτην φθίνοντος φαμὲν, ἢ πρώτην ἐπὶ εἰκάδι, ἢ μετ' εἰκάδα. τὴν κβ'. ἐννάτην φθίνοντος, ἢ δευτέραν ἐπὶ εἰκάδι, ἢ μετ' εἰκάδα, μέχρι τῆς εἰκοστῆς ἐννάτης. τὴν τριακοστὴν δὲ, τριακάδα γράφομεν, ἢ ἕνην, καὶ νέαν κατὰ τὸν ἐφευρετὴν τῆς τοιαύτης φωνῆς Σόλωνα, ὅπερ, τὸ παλαιὸν τοῦ παρελθόντος μηνὸς, καὶ νέον τοῦ ἀρχομένου ὑποδηλοῖ, καθὸ καὶ Ἀριστοφάνης, πῶς ἂν ἡ αὐτὴ γένοιτο γραῦς τε, καὶ νέα γυνὴ, παίζων ἐν νεφέλαις τὴν ἕνην τε καὶ νέαν, ἥτις ἐστὶ νουμηνία. τὰς μὲν οὖν α'. τῶν μηνῶν ῥωμαῖοι καλάνδας καλοῦσι, τὴν δὲ ε'. τοῦ Ἰαννουαρίου, Φευρουαρίου, Ἀπριλλίου, Ἰουνίου, Αὐγούστου, Σεπτεμβρίου, Ὀκτωβρίου, καὶ Νοεμβρίου, Νόνας λέγουσι. τὴν δὲ ιγ'. τῶν τοιούτων μηνῶν εἴδους ὀνομάζουσιν. ἐπὶ δὲ Μαρτίου, Μαΐου, Ἰουλίου,

λίου· καὶ Δεκεμβρίου τὴν μὲν ζ΄. τούτων νόνας, τὴν δὲ ιε΄. ἴδους ἐπονομάζουσι. Καλάνδας τοίνυν Ἰαννουαρίου εὑρίσκων, τὴν α΄. τοῦ Ἰαννουαρίου νομήσεις, πρὸ τεσσάρων νόνων. τὴν β΄. πρὸ τριῶν, τὴν γ΄. πρὸ δύο, καὶ πρὸ μιᾶς τὴν δ΄. διὰ τὸ τὴν ε΄. νόνας καλεῖσθαι, ὡς προὔφημεν· μετὰ δὲ τὴν ε΄. τὴν μὲν ς΄. τοῦ Ἰαννουαρίου, εἴποις ἂν πρὸ ὀκτὼ ἰνδῶν, τὴν δὲ ζ΄. πρὸ ἑπτὰ ἰνδῶν Ἰαννουαρίου, καὶ ἑξῆς ὁμοίως διὰ τὸ τὴν ιγ΄. ἴδους Ἰαννουαρίου λέγεσθαι. τὴν δὲ ιδ΄. τοῦ Ἰαννουαρίου, εἴποις ἂν πρὸ δεκάτης ὀγδόης Καλανδῶν Φευρουαρίου, τὴν δὲ ιε΄. πρὸ δεκάτης ἑβδόμης Καλανδῶν Φευρουαρίου, καὶ ἑπομένως ἄχρι τῆς α΄. Φευρουαρίου, ἣν ἐρεῖς Καλάνδην Φευρουαρίου, ὡσαύτως κἀπὶ τῶν ἄλλων μηνῶν, κατ᾽ ἀναλογίαν εἴποις ῥωμαΐζων. ἑλληνίζων δὲ ποιήσεις, ὡς ἀνωτέρω φθάσαντες εἴπομεν ἐν τοῖς μησὶ τοῖς ἔχουσι τριάκοντα μόνας ἡμέρας. τοῖς ἔχουσι δὲ μίαν πρὸς τριάκοντα μετὰ τὴν ι΄. ἐρεῖς ἑνδεκάτην, ἑνδεκάδα, εἶτα προχωρήσεις λέγων τὴν ιβ΄, ια΄. ἐπὶ ἑνδεκάδι, καὶ ἑξῆς κατὰ μίμησιν τῶν εἰρημένων, καὶ ἀναλογίαν τοῦ ὄντος μηνός, ἢ καὶ ια΄. ἐπί, ἢ μετὰ τριακάδα κοινότερον. ἐν δὲ τῷ Φευρουαρίῳ τῷ ἔχοντι ἡμέρας κη΄. κἀν τῷ Βισέκτῳ κθ΄. φθάσας μέχρι τῶν ιη΄. τουτέστιν ὀγδόης ἐπὶ δεκάτη, τὴν μὲν δεκάτην ἐννάτην, δεκάτην φθίνοντος ἐρεῖς. τὴν δὲ τελευταίαν τοῦ Φευρουαρίου ὡς κἀν τοῖς λοιποῖς μησίν.

## ΠΕΡΙ ἸΝΔΙΚΤΙΩΝΟΣ.

Τὴν ἐπωνυμίαν τοῦ ἐνιαυσίου κύκλου ἡ μὲν Ῥωμαΐζουσα φωνὴ ἰνδίκτιο καλεῖ, καὶ σημαίνει

τὸν

ΙΩΑΝΝΙΝΑ 2006

τὸν ἔρανον, συμβολὴν καὶ τὸ μήνυμα. ἐν γὰρ τῇ ἀρχῇ τοῦ ἔτους ἡ σύγκλητος τῶν Ῥωμαίων ἐμήνυε τοῖς Φορολόγοις συλλέγειν τοὺς φόρους ἐκ τοῦ ὑπηκόου, καὶ τοῦτο ἡ Ἰνδικτιὼν ἐστίν· ἣν δ' ἑλληνίζουσα φερωνύμως ἔθετο τὴν ἐπινέμησιν. εἰς γὰρ ἀπαράβατον καὶ ὡρισμένον βάρος τὸ παλαιὸν οἱ φόροι τοῖς ὑπηκόοις ἐτάττοντο, ἀλλ' ἡ τῶν καρπῶν γένεσις τὴν σύνταξιν αὐτοῖς ἐφιλανθρωπεύσατο. ἀφανιζοῦσα γὰρ ἀνεκούφιζεν, εὐθυνοῦσα δὲ οὐκ ἐβάρυνε, διένειμε δὲ τοῖς Φορολόγοις ἀλύπως τὸ ἀνάλογον, καὶ τηνικαῦτα, χρείας ἀπαιτούσης· μηδενὸς δὲ τοῦ Φορολόγου ὄντος, ἥκιστα οἱ φόροι ἐπράττοντο· ἀλλ' ἐγίνετο ὁ πόνος ὅλος κέρδος τοῖς γεωργήσασι. πλὴν ἀλλ' ἵνα σαφέστερον εἴπωμεν, ἰστέον ὅτι ἡ Ὀλυμπιὰς κατὰ τετραετίαν, ἢ πενταετίαν, ἢ καὶ πεντήκοντα μῆνας κατ' ἄλλους ἐτελεῖτο, καθ' ἣν τὰ ἔτη οἱ Ἕλληνες ἠρίθμουν, ἐξ ἧς τὰ Ὀλύμπια, ἀγῶνες περιβόητοι, καὶ ἑορτὴ Διὸς Ὀλυμπίου τελουμένη ἀπὸ τῆς ια' τῆς σελήνης μέχρι τῆς ιϛ'. τῆς αὐτῆς ἤρξατο δ' οὖν ἡ Ὀλυμπιὰς μετὰ τὴν ἅλωσιν τῆς Τρωάδος ἔτη υη'. καὶ πρὸ τῆς Χριστοῦ γεννήσεως ἔτη ψξε'. ὅτε καὶ Μανασσῆς τῶν Ἰουδαίων ἐβασίλευεν. ἐτηρεῖτο δὲ ἕως τῆς ἀρχῆς τοῦ μεγάλου Θεοδοσίου, ἐφ' οὗτινος ἤρξαντο ἀριθμεῖσθαι καὶ αἱ Ἰνδικτιῶνες, ἀρξάμεναι πάλαι καὶ ἐπινοηθεῖσαι ὑπὸ Καίσαρος Αὐγούστου, ἐν ἔτει πέμπτῳ καὶ δεκάτῳ τῆς αὐτοῦ βασιλείας. καλεῖται δὲ Ἰνδικτιὼν τουτέστιν ἐνακτιὼν ἡ περὶ τὸ Ἄκτιον νίκη, ἵν' Ἄκτιον δηλαδὴ ἡ νίκη ἐγένετο, ἤτοι ἡ αὐτοκρατορία εἰς τὸ Ἄκτιον, καὶ κατὰ παραφθορὰν Ἰνδικτιὼν λέγεται

ται αὕτη καὶ ἐπινέμησις καὶ πεντεκαιδεκαετηρίς. τριττὴ δ' οὖν αὕτη, ἡ μὲν τῆς Κωνσταντινουπόλεως ἀρχομένη ἀπὸ τῶν καλανδῶν Σεπτεμβρίου. ἡ δὲ Καισάρεια ἐκ τῆς κδ'. Σεπτεμβρίου. ἡ δὲ ῥωμαϊκὴ ἐκ τῶν καλανδῶν ἰανουαρίου κατὰ Μελέτιον. ἄκτιον δ' ἐστὶν ἀκρωτήριον Νικοπόλεως τῆς ἠπείρου, ἔνθα μάχην κροτήσας ὁ Αὔγουστος, τόν, τε Αντώνιον καὶ τὴν Κλεοπάτραν ἐκράτησε, μονάρχης τε τῷ τότε χρόνῳ ἀνεκηρύχθη. ἐπεὶ δὲ τῷ κε. ἔτει τῆς αὐτοῦ μοναρχίας τὴν ἴνδικτον ἐνενόησε, διά τοι τοῦτο ἀρχομένου τοῦ καθ' ἕκαστον χρόνου (οὗ ἡ ἀρχὴ ὁ Σεπτέμβριος μὴν) συνάρχεται καὶ ἡ ἰνδικτιών, καὶ ἀριθμεῖται μέχρι δεκαπέντε. ὥστε ἰνδικτιῶνος ιε. ληξάντων δὲ τῶν ιε. ἐτῶν λήγει καὶ ἡ περίοδος τῆς ιε. ἰνδικτιῶνος. εἶτα ἀρχομένου τοῦ ἄλλου νέου ἔτους συνάρχεται καὶ ἡ ἰνδικτιών. ὥστε ἰνδικτιὼν α. β. καὶ τὰ ἑξῆς.

## ΠΕΡΙ ΑΡΙΘΜΩΝ.

Πρὸς τοῖς κοινοῖς ἀριθμοῖς εὕρηνται καὶ ἄλλοι, ὧν τὸ μὲν Ι δηλοῖ ἕν, καὶ ἀριθμεῖται μέχρι τῶν δ. τὸ δὲ Π πέντε, καὶ ἀριθμεῖται μέχρι τῶν δέκα. τὸ δὲ Δ δέκα δηλοῖ, καὶ ἀριθμεῖται ἀναδιπλασιαζόμενον ἐν ἑκάστῃ δεκάδι. τὸ δὲ Η ἑκατόν. τὸ Χ χίλια. τὸ Μ μύρια καὶ τὰ ἑξῆς. καὶ ταῦτα μὲν δὴ ταῦτα, ὡς ἐν ἐπιτομῇ καὶ ἐν παρόδῳ. οἱ δ' ὑπὲρ ἡμᾶς καὶ ἐμπειρότεροι, συγγνώμην χαρίσαιντο ἡμῖν ὡς ἀπειροτέροις τῶν ἀκριβεστέρων καὶ τελειοτέρων.

Ε.Υ.Δ της Π.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Ἕτερον. περὶ χρόνου παρὰ Γρηγορίου τοῦ μητροπολίτου Δυῤῥαχίου.

Πρῶτον παρ' Ἑβραίοις (ὡς φησὶν Ἰωσὴφ ὁ ἱστοριογράφος) ἦν διῃρημένος ὁ χρόνος εἰς 12 μῆνας. ὕστερον οἱ Αἰγύπτιοι διώρθωσαν τὸν αὐτὸν εἰς 2 μῆνας, ἔπειτα εἰς 4. οἱ Ἀρκάδιοι εἰς τρεῖς. Οἱ Ἕλληνες ἠρίθμουν τὸν οἰκεῖον χρόνον ἡμέρας 354.

Οἱ ῥωμαῖοι δὲ ἐπὶ Ῥωμύλου πρώτου βασιλέως καὶ θεμελιωτοῦ τῆς παλαιᾶς Ῥώμης δεκάμηνον, ὅστις ῥώμυλος ἀφιέρωσε τὸν χρόνον τῷ πρὶν αὐτοῦ ἄρει, καὶ ἠρίθμει τοῦτον ἀπὸ Μαρτίου μηνός, ἡμερῶν 354. μετὰ τοῦτον Νουμᾶς ὁ πομπήλιος, βασιλεὺς ῥώμης ἤνεγκε τοῦτον τὸν χρόνον ἐν τῇ τῆς σελήνης συνδρομῇ, προσθεὶς ἡμέρας ἔτι 2. 356.

Ἤρξαντο οἱ ῥωμαῖοι μετρεῖν τὸ ἔτος ἀπὸ μηνὸς Μαρτίου, ἀφιερωμένου ὄντος τῷ θεῷ (κατὰ αὐτοὺς) μάρτε, ἄρες δηλ. λατινικῶς. ἔπειτα ὅτε οἱ κατοικοῦντες τὴν ῥώμην ἀπεδίωξαν τοὺς βασιλεῖς διὰ τῆς τυραννίας, ἤρξαντο μετρεῖν, προχειριζόμενοι ἀντ' αὐτῶν κονσούλους λεγομένους, ἀπὸ Ἰαννουαρίου μηνός. ἠρίθμουν δὲ ἀπὸ κτίσεως Ῥώμης πόλεως. Οἱ δὲ Ἕλληνες ἀπὸ καταστροφῆς πόλεως Τροίας. Οἱ ἐκ τῆς ἄγαρ μετροῦσι ἀπὸ τοῦ μωάμεθ.

Ἡμεῖς δὲ οἱ χριστιανοὶ ἀπὸ τῆς Χριστοῦ γεννήσεως. Ὁ χρόνος οὐκ ἔστιν ἕτερον οὐδέν, εἰ μὴ ἡ κυκλοφορία τοῦ ἡλίου ἀπὸ Μαρτίου μηνός, καὶ πάλιν εἰς τὸ αὐτὸ σημεῖον καὶ ἔτι πρός.

Ε.Υ.Δ της Ε.Π.Ι.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Τὸ

Τὸ ἔτος ἔτι διαιρεῖται εἰς ιβ΄. μῆνας, ὁ δὲ ἕκαστος μὴν, εἰς δ΄. ἑβδομάδας, καὶ ἔτι πρὸς τὴν ἑβδομὰς εἰς ζ΄. ἡμέρας.

## Περὶ Ἡμερῶν.

Αἱ ἡμέραι τῆς ἑβδομάδος κατὰ τοὺς ἐθνικοὺς ἔχουσι τὴν ἐπωνυμίαν ἐκ τῶν ζ΄. πλανητῶν δηλ: ἡ α΄. ἡμέρα ἀπὸ α΄. πλανήτου ἡλίου, β΄. σελήνης, γ΄. ἄρεως, δ΄. ἑρμοῦ, ε΄. διός, ϛ΄. ἀφροδίτης. ζ΄. κρόνου.

Ὁ Ἰούλιος καῖσαρ, λοιπὸν διένειμε τὴν ἡμέραν, εἰς δ΄. μέρη. καὶ ἕκαστον μέρος εἰς γ΄. ὥρας. ἡ ἡμέρα προσέτι εἰς δύο διαιρεῖται, φυσικὴν δηλ. ὥρας κδ΄. καὶ τεχνικὴν, δηλ. ὥρας ιβ΄. ἄρχεται ἡ ἡμέρα κατὰ τοὺς ῥωμαίους, ἀπὸ μεσονυκτίου ἕως πάλιν μεσονυκτίου.

Κατὰ τοὺς αἰγυπτίους, ἰταλοὺς, μποχεμίους, ἀπὸ δύσεως ἕως αὖθις δύσεως ἡλίου.

Κατὰ δὲ τοὺς πέρσας, βαβυλωνίους, Ἕλληνας, καὶ νοριμπεργίους, ἀπὸ ἀνατολῆς ἡλίου.

Κατὰ τοὺς ἀθηναίους, ἄραβας, τευτονοὺς, καὶ ἀστρονομικοὺς, ἀπὸ τοῦ μεσονυκτικοῦ σημείου ἕως τοῦ αὐτοῦ.

Ἡ ὥρα δὲ διαιρεῖται εἰς 4 σημεῖα. τὸ σημεῖον τοῦτο εἰς ι΄. στιγμάς. ἡ στιγμὴ εἰς κβ΄. ὀγγίας, καὶ ἡ ὀγγία εἰς μζ΄. λεγόμενα ἄτομα.

Ἡ ὥρα ἔλαβε τὴν ὀνομασίαν ἀπὸ τοῦ ἡλίου, ὁ γὰρ ἥλιος αἰγυπτιακῇ διαλέκτῳ λέγεται χόρω, ὅθεν καὶ παρὰ τῶν αἰγυπτίων κέκληται ὧρος.

Ἡ διαίρεσις τῆς ἡμέρας εἰς 12 φασὶν εἶναι παρὰ Ἑρμοῦ τοῦ τρισμεγίστου ἐν αἰγύπτῳ τοιαύτην παρατήρησιν ποιοῦντος ἔν τινι τόπῳ εἰς θυ-

θυσίας τῆς σεραπίδος θεᾶς προσφερομένη, καὶ αὐτὴν ἡμιόριον ἄνευ προσθήκης ἢ ἐλλείψεως ὁρῶντος. ὅθεν κατὰ τοῦτο καὶ διεμοίρασε τὴν ἡμέραν εἰς ιβ ὥρας· ἔπειτα καὶ εἰς κδ μετὰ τῆς νυκτός.

Τὰς πρότερον κατὰ τὰς ὀνομασίας τῶν πλανητῶν ἡμέρας, ὁ Σίλβεστρος ἐπίσκοπος Ῥώμης μετωνόμασε α. β. γ. δ. ε. ς. τὴν δὲ ἡμέραν τοῦ Σατούρνου Σάββατον. καὶ ἡ τοῦ ἡλίου ἡμέρα, ἥτις ἐλέγετο πρῶτον φέρια διὰ θελήσεως Κωνσταντίνου τοῦ Μεγάλου Βασιλέως, Κυριακὴ ὠνομάσθη.

Διὰ τοῦ μεγάλου φωστῆρος συνίσταται ἡ ἡμέρα. ἡ ἡμέρα ἐστὶ, τὸ διάστημα ἐν ὅσῳ χρόνῳ ὁ ἥλιος ἐστὶν ὑπὲρ γῆν. τὸ διάστημα τῆς ἡμέρας ἐστὶν ὁ ἀπὸ ἀνατολῶν μέχρι δυσμῶν ὑπὲρ γῆν τοῦ ἡλίου δρόμος. νὺξ ἐστὶν, ἐν τῷ τὸν ἥλιον ὑπὸ γῆν εἶναι. διάστημα νυκτός ὁ ἀπὸ δύσεως μέχρι ἀνατολῶν ὑπὸ γῆν δρόμος ἡλίου.

Καὶ ταῦτα μὲν ἅλις· τῷ δὲ Θεῷ ἡμῶν χάρις.

Τέλος.



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# Πίναξ τῆς βίβλου.


| | Σελ. |
|---|---|
| Προοίμιον τοῦ ἐπιστολαρίου. | 1 |
| Τοῦ ἐπιδεικτικοῦ γένους | |
| Τύπος πρῶτος περὶ ἐγκωμιαστικοῦ | 6 |
| Ὑπόδειγμα | 8 |
| Ἄλλο | 8 |
| Ἄλλο | 10 |
| Ἄλλο | 11 |
| Ἀπάντησις πρὸς τὸν ἐγκωμιαστικόν | 12 |
| Ὑπόδειγμα | 13 |
| Ἄλλο | 13 |
| Ἄλλο | 14 |
| Ἄλλο | 15 |
| Περὶ ἐπαινετικοῦ χαρακτῆρος | 16 |
| Περὶ χαριστηρίου | 16 |
| Ὑπόδειγμα | 18 |
| Ἀπάντησις πρὸς τὸν Χαριστήριον | 18 |
| Ὑπόδειγμα | 19 |
| Περὶ Συγχαριστικοῦ | 20 |
| Ὑπόδειγμα | 21 |
| Ἄλλο | 21 |
| Ἀπάντησις πρὸς τὸν συγχαριστικόν | 22 |
| Ὑπόδειγμα | 22 |
| Ἄλλο | 23 |

Περὶ Ψεκτικοῦ 24
Ὑπόδειγμα 24
Ἄλλο 25
Ἀπάντησις πρὸς τὸν Ψεκτικὸν 26
Ὑπόδειγμα 27
Ἄλλο 28
Περὶ Τωθαστικοῦ καὶ Εἰρωνικοῦ 29
Ὑπόδειγμα 30
Ἀπάντησις πρὸς τὸν Εἰρωνικὸν χαρακτῆρα 30
Παράδειγμα 31
Τοῦ Συμβουλευτικοῦ γένους Π
Προτρεπτικὸς, ἢ Συμβουλευτικὸς χαρακτὴρ 31
Ὑπόδειγμα 34
Ἄλλο 36
Ἀπάντησις πρὸς τὸν Συμβουλευτικὸν ἢ προτρεπτικὸν χαρακτῆρα 38
Ὑπόδειγμα 38
Ἄλλο 39
Περὶ Αἰτητικοῦ καὶ Συστατικοῦ χαρακτῆρος 40
Ὑπόδειγμα 42
Ἄλλο 43
Ἀπάντησις πρὸς τὸν Αἰτητικὸν καὶ Συστατικὸν χαρακτῆρα 44
Ὑπόδειγμα 45
Ἄλλο 46
Περὶ παραμυθητικοῦ χαρακτῆρος 46
Ὑπόδειγμα 49
Ἄλλο 50
Ἀπάντησις πρὸς τὸν παραμυθητικὸν 52
Ὑπόδειγμα 52
Ἄλλο 53
Περὶ Ἀποτρεπτικοῦ χαρακτῆρος 54
Ὑπόδειγμα 56

Τοῦ

Ε.Υ.Δ της Κ... ΙΩΑΝΝΙΝΑ 2006

## Τοῦ Δικανικοῦ γένους.


Περὶ Κατηγορικοῦ 58
Ὑπόδειγμα 60
Ἀπάντησις πρὸς τὸν κατηγορικόν 61
Ὑπόδειγμα 62
Περὶ Μεμπτικοῦ χαρακτῆρος 63
Ὑπόδειγμα 64
Περὶ Ὀνειδιστικοῦ 65
Ὑπόδειγμα 66
Ἐπιστολαὶ διαφόρων 67


## Ἀφθονίου Σοφιστοῦ Προγυμνάσματα.


Ὅρος μύθου 85
Μῦθος ὁ τῶν μυρμήκων καὶ τῶν τεττίγων 85
Ὅρος Διηγήματος 86
Διήγημα τὸ κατὰ ῥόδον 86
Ὅρος χρείας 87
Χρεία Λογική 88
Ὅρος Γνώμης 89
Γνώμη προτρεπτική 90
Ὅρος Ἀνασκευῆς 92
Ἀνασκευή 92
Ὅρος Κατασκευῆς 94
Κατασκευή 95
Ὅρος κοινοῦ τόπου 97
Κοινὸς τόπος κατὰ τυράννου 98
Ὅρος ἐγκωμίου 100
Ἐγκώμιον Θουκυδίδου 101
Σοφίας ἐγκώμιον 103
Ὅρος ψόγου 105
Ψόγος Φιλίππου 106
Ὅρος συγκρίσεως 108


Σύγ-

Ε.Υ.Δ της Ι.τ.Ι ΙΩΑΝΝΙΝΑ 2006

Σύγκρισις Ἀχιλλέως καὶ Ἕκτορος 108
Ὅρος ἠθοποιΐας 110
Ἠθοποιΐα παθητική 111
Ὅρος ἐκφράσεως 112
Ἔκφρασις τῆς ἀκροπόλεως Ἀλεξανδρείας 113
Ὅρος θέσεως 115
Θέσις εἰ γαμητέον 116
Ὅρος νόμου εἰσφορᾶς 120
Κατηγορία νόμου 121

## Ἔκθεσις περὶ Ῥητορικῆς. [illegible]

Προοίμιον 125
Περὶ προοιμίου 142
Περὶ εὐνοίας 143
Περὶ τῶν ἀπὸ τῆς αἰτίας ἀντιπιπτόντων 146
Τὰ ἀντιπίπτοντα ἐκ τῶν πραγμάτων 147
Περὶ προσοχῆς 148
Περὶ Εὐμαθείας 150
Περὶ τοῦ ἐπιδεικτικοῦ εἴδους 151
Περὶ Δικανικοῦ εἴδους 153
Περὶ δημηγορικοῦ εἴδους 154
Περὶ συνθέσεως προοιμίου, εἴτουν περὶ εὑρέσεως 155
Περὶ διηγήσεως εἴτουν προθέσεως 157
Περὶ πιθανότητος 160
Περὶ γοργότητος καὶ ἀκμῆς ἐν ταῖς διηγήσεσιν 163
Ἔν τισι τῶν λόγων ἀναγκαία ἐστὶν ἡ διήγησις ἐν οἷς δεῖ διηγεῖσθαι καὶ ὡς 164
Περὶ δικανικοῦ εἴδους 165
Περὶ πίστεως 166
Περὶ ὅρου 169
Περὶ ὑπογραφῆς 171
Περὶ ἐτυμολογίας 172
Περὶ γένους 174

Περὶ

Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

| | |
|---|---|
| Περὶ εἴδȣς | 175 |
| Περὶ διαφορᾶς ϗ ἰδίȣ | 177 |
| Περὶ τῶν αἰτίων | 179 |
| Περὶ τȣ͂ ἀπὸ τῶν ἐνεργειῶν τόπȣ | 182 |
| Περὶ τόπȣ, ϗ χρόνȣ, ϗ προσώπȣ | 184 |
| Περὶ τῶν κοινῶν τόπων περὶ ἴσȣ, μείζονος, ϗ ἐλάττονος | 185 |
| Περὶ ὁμοίȣ, ϗ ἀνομοίȣ | 187 |
| Περὶ τῶν ἀντικειμένων | 188 |
| Περὶ ἀξιώσεως αὐτῶν μαρτυρίας | 189 |
| Περὶ τῶν τελικῶν κεφαλαίων | 190 |
| Περὶ τȣ͂ δικαίȣ | 191 |
| Περὶ τȣ͂ νομίμȣ | 192 |
| Περὶ τȣ͂ συμφέροντος | 193 |
| Περὶ τȣ͂ δυνατȣ͂ ϗ ῥαδίȣ | 194 |
| Περὶ τȣ͂ καλȣ͂ | 195 |
| Περὶ ἡδέων | 196 |
| Περὶ ἐπιλόγȣ | 199 |
| Περὶ ἔτȣς | 200 |
| Περὶ μηνῶν Ῥωμαίων | 201 |
| Περὶ μηνῶν Ἀθηναίων | 202 |
| Περὶ ἡμερῶν | 206 ϗ 211 |
| Περὶ ἰνδικτιῶνος | 207 |
| Περὶ ἀριθμῶν | 209 |


Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Πορα-

# Παραδρομαί.

αἰ ἐν δέχεται γράφε εὖ ἐνδέχεται σελ. 1
ἔθα γρ. ἔνθα 3
ὁ πῶον γρ. ὁποῖον 4
τὴν λγ΄. γρ. μ΄. 7
τὸ κόσμιον γρ. τὸ κόσμιον 9
ἐν διαίτημα γρ. ἐνδιαίτημα 13
αἱ πρὸς ἡμᾶς γρ. καὶ πρὸς ἡμᾶς 17
αἱ καὶ λανθάνειν γρ. αἰεὶ καὶ λανθάνειν. 21
καὶ τὴν ἀΐδηλον γρ. καὶ τὸν ἀΐδηλον 23
κα. τῶν σῶν τρόπωσ γρ. καὶ τῶν σῶν τρόπων 28
ἐφ᾽ ὧν γρ. ἐφ᾽ ᾧ 41. τὴν γραφὴν γρ. τὴν γραφὴν 45
καὶ θηλυπρετὴς γρ. καὶ θηλυπρεπὴς 47
ἵνα τη γένηται γρ. ἵνα τι γένηται 60
τις περὶ φίλων ἀδοξίας γρ. τῆς περὶ φίλων ἀδο-
ξίας 60. ὁ ποῖον γρ. ὁποῖον 67
πολὺ γε καὶ δεῖ γρ. πολλοῦ γε καὶ δεῖ 77
σεμνοπιημένη γρ. σεμνοποιημένη 77
καὶ τοῖς πλείωσι καὶ τοῖς ἐλάττωσι γρ. καὶ τοῖς
πλείοσι καὶ τοῖς ἐλάττοσι 78
ἠκρωασάμην γρ. ἠκροασάμην 79
ἀγροιαίνουσα γρ. ἀγριαίνουσα 81
μάλλα γρ. μάλα 96
περὶ τῆς αὐτοῦ τελευτῆς γρ. περὶ τῆς αὐτοῦ τε-
λευτῆς 107. Τῶν δὲ ἠθοποιῶν γρ. τῶν δὲ ἠθο-
ποιϊῶν 110. ὅσθεν γρ. ὅθεν 124
ποσώκου γράφε προσώπου 130
κακοποθεῖν γρ. κακοπαθεῖν 137
παρατρῦναι γρ. παροτρῦναι 184
λογομένων γρ. λεγομένων 188. αἴτου γρ. εὔτου 199
μεταγεινιένου γρ. μεταγειτνιένου 203. ἀχομένου γρ.
ἀρχομένου 206. ἔτη γρ. ἔτη 208

Ε.Υ.Δ.Ε.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006